CONCOURS GÉNÉRAL SÉNÉGALAIS 1/1

10 1 CGS 04 01
Durée : 4 heures
Toutes séries réunies

SESSION 2010

CLASSES DE PREMIÈRE

# VERSION GRECQUE

Philippe, ennemi juré de tous les Grecs.

« Πρῶτον μέν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτο παρ' ὑμῖν αὐτοῖς βεβαίως γνῶναι[1] ὅτι τῇ πόλει Φίλιππος πολεμεῖ καὶ τὴν εἰρήνην λέλυκεν — καὶ παύσασθε περὶ τούτου κατηγοροῦντες ἀλλήλων — καὶ κακόνους μέν ἐστι καὶ ἐχθρὸς ὅλῃ τῇ πόλει καὶ τῷ τῆς πόλεως ἐδάφει, προσθήσω δὲ καὶ τοῖς ἐν τῇ πόλει πᾶσιν ἀνθρώποις, καὶ τοῖς μάλιστ' οἰομένοις αὐτῷ χαρίζεσθαι. Εἰ δὲ μή, σκεψάσθε Εὐθυκράτη καὶ Λασθένη τοὺς Ὀλυνθίους, οἳ δοκοῦντες οἰκειότατα αὐτῷ διακεῖσθαι, ἐπειδὴ τὴν πόλιν προύδοσαν, πάντων κάκιστα ἀπολώλασιν. Οὐδενὶ μέντοι μᾶλλον ἢ τῇ πολιτείᾳ[2] πολεμεῖ οὐδ' ἐπιβουλεύει, καὶ σκοπεῖ μᾶλλον οὐδὲ ἓν τῶν πάντων ἢ πῶς ταύτην καταλύσει. »

DÉMOSTHÈNE.

1. Comprenez : δεῖ ὑμᾶς αὐτοὺς γνῶναι τοῦτο... 2. = notre constitution.